πθ΄.

Δύο ἡμῖν καλὰ ἡ ἁγία χάρις διὰ τοῦ βαπτίσματος περιποιεῖ τῆς ἀναγεννήσεως, ὧντινων τὸ ἓν ἀπείρως τοῦ ἑνὸς ὑπερβάλλει. Ἀλλὰ τὸ μὲν εὐθέως χαρίζεται· ἀνακαινίζει γὰρ ἡμᾶς ἐν αὐτῷ τῷ ὕδατι καὶ πάσας τὰς γραμμὰς τῆς ψυχῆς, τοῦτ᾽ ἔστιν τὸ κατ᾽ εἰκόνα, λαμπρύνει, πᾶσαν ῥυτίδα τῆς ἁμαρτίας ἡμᾶς ἀπονίπτουσα. Τὸ δὲ ἐκδέχεται ἵνα σὺν ἡμῖν ἐργάσηται, ὅπερ ἐστὶ τὸ καθ᾽ ὁμοίωσιν. Ὅταν οὖν ἄρξηται ὁ νοῦς ἐν πολλῇ αἰσθήσει γεύεσθαι τῆς χρηστότητος τοῦ ἁγίου πνεύματος, τότε ὀφείλομεν εἰδέναι ὅτι ἄρχεται ἡ χάρις ὥσπερ ἐπιζωγραφεῖν εἰς τὸ κατ᾽ εἰκόνα τὸ καθ᾽ ὁμοίωσιν. Ὃν γὰρ τρόπον οἱ ζωγράφοι πρῶτον μὲν ἑνὶ χρώματι διαγράφουσι τὸ σχῆμα τοῦ ἀνθρώπου, χροιᾷ δὲ τὴν χροιὰν κατ᾽ ὀλίγον ἐπανθίζοντες οὕτως τὸ τοῦ ὁμοιογραφουμένου ἄχρι καὶ τῶν τριχῶν ἀποσώζουσιν εἶδος· οὕτω καὶ ἡ χάρις τοῦ θεοῦ πρῶτον μὲν διὰ τοῦ βαπτίσματος εἰς τὸ ὅπερ ἦν, ὅτε ἐγένετο ὁ ἄνθρωπος, ῥυθμίζει τὸ κατ᾽ εἰκόνα. Ὅτε δὲ ἡμᾶς ἴδῃ ἐκ πάσης προθέσεως ἐπιθυμοῦντας τοῦ κάλλους τῆς ὁμοιώσεως καὶ ἑστῶτας γυμνούς τε καὶ ἀπτοήτους εἰς τὸ ταύτης ἐργαστήριον, τότε, ἀρετῇ τὴν ἀρετὴν ἐπανθίζουσα καὶ ἀπὸ δόξης εἰς δόξαν τὸ τῆς ψυχῆς εἶδος ἀναφέρουσα, τὸν χαρακτῆρα τῆς ὁμοιώσεως αὐτῇ περιποιεῖ. Ὥστε οὖν ἡ μὲν αἴσθησις δηλοῖ ἡμᾶς μορφοῦσθαι τὸ καθ᾽ ὁμοίωσιν· τὸ δὲ τέλειον τῆς ὁμοιώσεως ἐκ τοῦ φωτισμοῦ γνωσόμεθα. Πάσας μὲν γὰρ τὰς ἀρετὰς διὰ τῆς αἰσθήσεως ὁ νοῦς κατὰ μέτρον τι καὶ ῥυθμὸν ἄρρητον προκόπτων ἀπολαμβάνει· τὴν δὲ πνευματικὴν οὐ δύναταί τις ἀγάπην κτήσασ-